Δημήτριος *εἰδήμων τῆς ἑλληνικῆς Γλώσσης καὶ τῆς ἐκκλησιαστικῆς παιδείας, ἀκολουθίας, καὶ τάξεως ἔμπειρος· σπουδάζει καὶ μελετᾶ μετὰ φιλοπονίας πολλῆς τὰς θείας καὶ ἱερὰς γραφάς. κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.*]

.... Αθανασιος ὁ Κρής. πρῶτον μὲν Μητροπολίτης ἡρακλείας, ὕστερον δὲ καὶ πατριάρχης Κωνσταντινουπόλεως. *ἀνὴρ* κα: τὸν Προκοπίου Δημήτριον *εἰδήμων τῆς ἑλληνικῆς, καὶ τῆς Ἀραβικῆς Γλώσσης, καὶ τῆς Ἱερᾶς γραφῆς ἔμπειρος. Ἱκανὸς κατανοεῖν τῶν τε λογογράφων καὶ φιλοσόφων τὰ συγγράμματα. ἐσχόλαζε περὶ τὴν ἀνάγνωσιν καὶ μελέτην τῆς Ἱερᾶς γραφῆς, καὶ ἐκήρυττε τὸν λόγον τοῦ θεοῦ μετὰ πολλοῦ ζήλου, καὶ χριστιανικῆς ἀγάπης.* ἐκυβέρνησεν οὗτος τὴν ἐκκλησίαν τοῦ θεοῦ ὡς λέγει Ἀθανάσιος Κομνηνὸς ὁ ὑψηλάντης ὁ ἐν Κωνσταντινουπόλει Μέγας χαρτοφύλαξ ἐν τῇ ἐκκλησιαστικῇ καὶ πολιτικῇ αὐτοῦ Ἱστορίᾳ. ἔτος ἓν καὶ Μῆνας τέσσαρας ἀπὸ τοῦ ἔτους τουτέστι 1709 ἄχρι τοῦ 1710.

ἴδε καὶ τὸν Μιχαὴλ λεκυίεν περὶ τούτου ἐν τῇ χριστιανικῇ αὐτοῦ ἀνατολῇ τόμ: α΄. σελ: 348.

1710 Αθανασιος Μητροπολίτης δοροστόλου, ἢ δρύστρας. ἀνὴρ πεπαιδευμένος καὶ σοφός.

ἐξέδωτο οὗτος οἰκείοις αὐτοῦ ἀναλώμασι τὴν δογματικὴν πανοπλίαν εὐθυμίου τοῦ ζιγαδινοῦ ἐν τεργοβύστῳ τῆς οὐγγροβλαχίας τῷ ἔτει 1710.